# SAFFO

**1.** ***Biographica quaedam***
a) Chamael. fr. 27 W. (*P. Oxy.* 1800 fr. 1,1-35: suppl. Hunt) [Περὶ Σαπφ]οῦς. [Σαπφὼ τὸ μὲν γένος] ἦν Λε[σβία, πόλεως δὲ Μιτ]υλήνης, [πατρὸς δὲ Σκαμ]άνδρου, κα[τὰ δέ τινας Σκα]μανδρωνύ[μου· ἀδελφοὺς δ’] ἔσχε τρεῖς, [Ἐρ]ι̣[γυιον καὶ Λά]ριχον, πρεσβύ[τατον δὲ Χάρ]αξον, ὃς πλεύσας ε[ἰς Αἴγυπτον] Δωρίχα̣ τινὶ προσε̣[νεχθε]ὶ̣ς κατεδαπάνησεν εἰς ταύτην πλεῖστα. τὸν δὲ Λάριχον <νέον> ὄντα μᾶλλον ἠγάπησεν. θυγατέρα δ’ ἔσχε Κλεῒν ὁμώνυμον τῇ ἑαυτῆς μη̣τ̣ρ̣ί. κ[α]τηγόρηται δ’ ὑπ’ ἐν[ί]ω[ν] ὡς ἄτακτος οὖ[σα] τὸν τρόπον καὶ γυναικε[ράσ]τρια. τὴν δὲ μορφὴν [εὐ]καταφρόνητος δοκεῖ γε[γον]ἐ̣ν̣α[ι κα]ὶ̣ δυσειδεστάτη⟦ν⟧, [τ]ὴν μὲν γὰρ ὄψιν φαιώδης [ὑ]πῆρχεν, τὸ δὲ μέγεθος μικρὰ παντελῶς. τὸ δ’ αὐτὸ [συ]μβέβηκε καὶ περὶ τὸν [.....]ν ἐλάττω [. .] γεγον<ότ>α [...............].ην περιτ[.......... ὥσ]περ Χαμαιλέω[ν ........]τιος ἐπλανήθ[η .......] ἀπ’ αὐτοῦ λέγει̣ [... Αἰολίδι?] διαλέκτω̣ κεχρ[η ..... γέ]γραφεν δὲ βυβλ[ία ἐννέα μὲν] λυρικά, ἐλεγείω̣[ν δὲ καὶ ἄλλων?] ἐν ...

b) *Suda* σ 107 A. Σαπφώ, Σίμωνος, οἱ δὲ Εὐμήνου, οἱ δὲ Ἠεριγύου (*scil.* Ἐρι-?), οἱ δὲ Ἐκρύτου, οἱ δὲ Σήμου, οἱ δὲ Κάμωνος, οἱ δὲ Ἐτάρχου, οἱ δὲ Σκαμανδρωνύμου· μητρὸς δὲ Κλειδός· Λεσβία ἐξ Ἐρεσσοῦ, λυρική, γεγονυῖα κατὰ τὴν μβ Ὀλυμπιάδα (612-608 a.C.), ὅτε καὶ Ἀλκαῖος ἦν καὶ Στησίχορος καὶ Πιττακός. ἦσαν δὲ αὐτῇ καὶ ἀδελφοὶ τρεῖς, Λάριχος, Χάραξος, Εὐρύγιος (*scil.* Ἐρι-?). ἐγαμήθη δὲ ἀνδρὶ Κερκύλᾳ πλουσιωτάτῳ, ὁρμωμένῳ ἀπὸ Ἄνδρου, καὶ θυγατέρα ἐποιήσατο ἐξ αὐτοῦ, ἣ Κλεὶς ὠνομάσθη. ἑταῖραι δὲ αὐτῆς καὶ φίλαι γεγόνασι τρεῖς, Ἀτθίς, Τελεσίππα, Μεγάρα· πρὸς ἃς καὶ διαβολὴν ἔσχεν αἰσχρᾶς φιλίας. μαθήτριαι δὲ αὐτῆς Ἀναγόρα (codd. : Ἀνακτορία Neue, quod rec. Voigt) Μιλησία, Γογγύλα Κολοφωνία, Εὐνείκα Σαλαμινία. ἔγραψε δὲ μελῶν λυρικῶν βιβλία θ´. καὶ πρώτη πλῆκτρον εὗρεν. ἔγραψε δὲ καὶ ἐπιγράμματα καὶ ἐλεγεῖα καὶ ἰάμβους καὶ μονῳδίας.

c) Hier. (Euseb.) *Chron.* Ol. 45 (600-596 a.C.) *Sappho et Alcaeus poetae clari habebantur* (cf. *ARV*$^2$ 385/228).

d) *Marm. Par. FGrHist* 239 A 36 (p. 12 J.) ἀφ’ οὗ Σαπφὼ ἐγ Μιτυλήνης εἰς Σικελίαν ἔπλευσε φυγοῦσα [ ἄρχο]ντος, Ἀθήνησιν μὲν Κριτίου τοῦ προτέρου, ἐν Συρακούσσαις δὲ τῶν γαμόρων κατεχόντων τὴν ἀρχήν (604-596 a.C.)

e) Max. Tyr. 18,9 ὁ δὲ τῆς Λεσβίας (*scil.* ἔρως) ... τί ἂν εἴη ἄλλο, ἢ αὐτό, ἡ Σωκράτους τέχνη ἐρωτική; δοκοῦσιν γάρ μοι τὴν καθ’ αὑτὸν ἑκάτερος φιλίαν, ἡ μὲν γυναικῶν, ὁ δὲ ἀρρένων, ἐπιτηδεῦσαι. καὶ γὰρ πολλῶν ἐρᾶν ἔλεγον, καὶ ὑπὸ πάντων ἁλίσκεσθαι τῶν καλῶν· ὅ τι γὰρ ἐκείνῳ Ἀλκιβιάδης καὶ Χαρμίδης καὶ Φαῖδρος, τοῦτο τῇ Λεσβίᾳ Γύριννα καὶ Ἀτθὶς καὶ (om. **RN**) Ἀνακτορία· καὶ ὅ τι περ Σωκράτει οἱ ἀντίτεχνοι, Πρόδικος καὶ Γοργίας καὶ Θρασύμαχος καὶ Πρωταγόρας, τοῦτο τῇ Σαπφοῖ Γοργὼ καὶ Ἀνδρομέδα· νῦν μὲν ἐπιτιμᾷ ταύταις, νῦν δὲ ἐλέγχει.

**2. L’edizione alessandrina**
a) Serv. *Georg.* 1,31 (III 1,139 Th.-H.) *Sappho ... in libro qui inscribitur Ἐπιθαλάμια ait* (fr. 116 V.).

b) [Dion. Hal.] *Rh.* 4,1 (*Opusc.* II 1,270,4ss. Us.-Rad.) τινὰ μὲν οὖν καὶ παρὰ Σαπφοῖ τῆς ἰδέας ταύτης (*scil.* τοῦ γαμικοῦ λόγου) παραδείγματα, ἐπιθαλάμιοι οὕτως ἐπιγραφόμεναι ᾠδαί

c) *P. Oxy.* 2294,16s. ]φέρονται ἐπιγεγρα[ ]λαμια

d) Tull. Laur. *AP* VII 17 Αἰολικὸν παρὰ τύμβον ἰών, ξένε, μή με θανοῦσαν / τὰν Μιτυληναίαν ἔννεπ’ ἀοιδοπόλον· / τόνδε γὰρ ἀνθρώπων ἔκαμον χέρες, ἔργα δὲ φωτῶν / ἐς ταχινὴν ἔρρει τοιάδε ληθεδόνα. / ἢν δέ με Μουσάων ἐτάσῃς χάριν, ὧν ἀφ’ ἑκάστης / δαίμονος ἄνθος ἐμῇ θῆκα παρ’ ἐννεάδι, / γνώσεαι, ὡς Ἀΐδεω σκότον ἔκφυγον οὐδέ τις ἔσται / τῆς λυρικῆς Σαπφοῦς νώνυμος ἠέλιος.

e) Heph. 10,5 (34 Consbr.) ἔστι δὲ πυκνὸν (ἐν τοῖς ἀντισπαστικοῖς τετραμέτροις καταληκτικοῖς) καὶ τὸ τὴν δευτέραν μόνην ἀντισπαστικὴν ἔχον, ᾧ μέτρῳ ἔγραψεν ᾄσματα καὶ Σαπφὼ ἐπὶ †τῆς (**A** : τ<ελευτ>ῆς vel τ<έλου>ς Bergk) τοῦ ἑβδόμου.

f) Phot. *Bibl.* 161, 103a 40 ἀλλά γε καὶ ἀπὸ ὀγδόου λόγου τῆς Σαπφοῦς.